# TEZAUR LITURGIC

## 1 FEBRUARIE
## GHERASIM MIKRAGHIANANITUL

# PARACLISUL
## SF.IERARH-MĂRTURISITOR
# VASILE II,
## ARHIEPISCOPUL TESALONICULUI

ATENA,2020


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# 01 ΦΕΒΡΟΥΑΡΙΟΣ ΒΑΣΙΛΕΙΟΣ ΘΕΣΣΑΛΟΝΙΚΗΣ ΠΑΡΑΚΛΗΣΙΣ

**Ποίημα Γερασίμου Μοναχοῦ Μικραγιαννανίτου**

Ὁ Ἱερεὺς ἄρχεται τῆς Παρακλήσεως μὲ τὴν δοξολογικήν ἐκφώνησιν:

*Εὐλογητὸς ὁ Θεός ἡμῶν, πάντοτε, νῦν καὶ ἀεί καὶ εἰς τούς αἰῶνας τῶν αἰώνων.*

Ὁ χορός: *Ἀμήν.*

Ἤ μὴ ὑπάρχοντος Ἱερέως, ἡμεῖς τό:

*Δι᾽ εὐχῶν τῶν Ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς, Ἀμήν.*

*Ψαλμός ρμβ᾽ (142).*

Καί εὐθύς ψάλλεται τετράκις ἐξ᾽ ὑπαμοιβῆς, μετά τῶν οἰκείων στίχων:

*Θεός Κύριος καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.*

Στίχ. α᾽. *Ἐξομολογεῖσθε τῷ Κυρίῳ ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος Αὐτοῦ.*

Στίχ. β᾽. *Πάντα τὰ ἔθνη ἐκύκλωσάν με καὶ τό ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.*

Στίχ. γ᾽. *Παρά Κυρίου ἐγένετο αὕτη καὶ ἔστι θαυμαστή ἐν ὀφθαλμοῖς ἡμῶν.*

*Εἶτα τὸ τροπάριον.*

*Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.*

Ὡς Ἱεράρχης τοῦ Χριστοῦ θεοφόρος, καὶ Βασιλείας οὐρανῶν κληρονόμος, ἀρχιερεῦ Βασίλειε μακάριε, πρέσβευε δεόμεθα, Βασιλεῖ τῶν αἰώνων, πάσης ἡμᾶς ῥύεσθαι, προσβολῆς καὶ ἀνάγκης, καὶ τῆς μελλούσης δόξης μετασχεῖν, Θεσσαλονίκης, ποιμὴν ἱερώτατε.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Οὐ σιωπήσομέν ποτε Θεοτόκε, τὰς δυναστείας Σου λαλεῖν οἱ ἀνάξιοι, εἰμὴ γὰρ Σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνων; Τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν Δέσποινα ἐκ Σοῦ, Σοὺς γὰρ δούλους σώζεις ἀεί, ἐκ παντοίων δεινῶν.

*Ψαλμός ν’ (50).*

Εἶτα, ὁ Κανών, οὗ ἡ ἀκροστιχίς: *Βάσις ἡμῶν, Βασίλειε, πέλεις. Γερασίμου.*

*Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας.*

Βασίλειε Πάτερ μύστα Χριστοῦ, Θεσσαλονικέων, ποιμενάρχης ὁ ἱερός, πάσης ἡμᾶς λύτρωσαι ἀνάγκης, τοὺς προσιόντας θερμῶς τῇ πρεσβείᾳ σου.

Ἀμέτροις συνέχομαι πειρασμοῖς, καὶ πίστει βοῶ σοι, ἐκ καρδίας ὀδυνηρᾶς· ῥῦσαί με Βασίλειε τρισμάκαρ, τῆς συνοχῆς τῶν δεινῶν περιστάσεων.

Σωμάτων τοὺς πόνους τοὺς χαλεπούς, καὶ ψυχῆς τὴν νόσον, τῇ δοθείσῃ σοι δωρεᾷ, ἴασαι Βασίλειε θεόφρον, τῶν προσιόντων θερμῶς τῇ πρεσβείᾳ σου.

*Θεοτοκίον.*

Ἱλέωσαι Κόρη ὡς συμπαθής, ἡμῖν τοῖς καθ᾽ ὥραν, ἁμαρτάνουσιν ἀδεῶς, Χριστὸν τὸν φιλάνθρωπον Υἱόν Σου, ἵνα πταισμάτων συγχώρησιν λάβομεν.

*Ὠδὴ γ΄. Οὐρανίας ἁψῖδος.*

Σωτηρίαν ἐξαίτει παρὰ Χριστοῦ Ὅσιε, τὴν κατὰ ψυχήν τε καὶ σῶμα, καὶ παθῶν ἴασιν, ἡμῖν Βασίλειε, καὶ τῶν ἐν βίῳ κινδύνων, τὴν ταχεῖαν λύτρωσιν, ἐκδυσωποῦμέν σε.

Ἡ θερμή σου πρεσβεία δρόσος ἡμῖν γένοιτο, ἄνθρακας πικρῶν παθημάτων, ἀποσβεννύουσα, καὶ ἀναψύχουσα, ἡμῶν ψυχῆς τὰς δυνάμεις, τῶν μακαρίζοντων σε, Πάτερ Βάσιλειε.

Μετὰ πίστεως Πάτερ τῇ σῇ σορῷ σπεύδομεν, ἵνα ψυχικῶν νοσημάτων, ἴασιν λάβομεν· ἡ γὰρ τοῦ Πνεύματος, χάρις ἐν ταύτῃ σκηνοῦσα, ἅπασι Βασίλειε, νέμει σωτήρια.

*Θεοτοκίον.*

Ὡς πυρίμορφος θρόνος καὶ χρυσαυγὲς σκήνωμα, τοῦ παμβασιλέως τῆς δόξης, καὶ Παντοκράτορος, Παρθένε ἄχραντε, τὸν νοῦν μου κάθαρον πάσης, ἐμπαθοῦς φαυλότητος, θείῳ ἐλέει Σου.

Διάσωσον, πάσης ἀνάγκης Βασίλειε Ἱεράρχα, τοὺς ἐν πίστει τῇ σῇ πρεσβείᾳ προστρέχοντας, ταῖς πρὸς Θεὸν εὐπροσδέκτοις σου ἱκεσίαις.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

*Κάθισμα. Ἦχος β΄. Πρεσβεία θερμή.*

Ποιμὴν ὡς ἀληθής, Θεσσαλονίκης πέφηνας, ὡς πλήρης φωτός, Βασίλειε μακάριε· διὸ ταῖς σαῖς δεήσεσι, τῶν παθῶν μου τὸν ζόφον διάλυσον, καὶ τὴν κατ᾽ ἄμφω ὑγείαν σοφέ, παράσχου τοῖς πόθῳ σε γεραίρουσι.

*ᾨδὴ δ΄. Εἰσακήκοα Κύριε.*

Νοσημάτων ἀπάλλαξον, καὶ πολυειδῶν κινδύνων καὶ θλίψεων, τοὺς προστρέχοντας Βασίλειε, τῇ συμπαθεστάτῃ προστασίᾳ σου.

Βασιλεῖ πάσης κτίσεως, πρέσβευε Βασίλειε παμμακάριστε, Βασιλείας ἀξιῶσαί με, τῆς ἐπουρανίου ὡς φιλάνθρωπος.

Ἀσθενοῦσι τὴν ἴασιν, καὶ τοῖς θλιβομένοις τὴν ἀνακούφισιν, δίδου Ἅγιε Βασίλειε, ὡς ἡμῶν μεσίτης πρὸς τὸν Κύριον.

*Θεοτοκίον.*

Σαρκωθέντα ἐκύησας, ἐκ τῶν Σῶν αἱμάτων τὸν πάντων Κύριον· διὰ τοῦτό Σε δοξάζομεν, ὡς Θεοῦ Μητέρα ἀειπάρθενε.

*Ὠδὴ ε΄. Φώτισον ἡμᾶς.*

Ἵνα τὴν θερμήν, προστασίαν σου κηρύττομεν, πάσης λύτρωσαι ἡμᾶς ἐπαγωγῆς, ἐπωδύνων περιστάσεων Βασίλειε.

Λάμπων τῷ φωτί, τῆς Τριάδος διασκέδασον, τὴν μανίαν καθ' ἡμῶν τοῦ δυσμενοῦς, φωτοφόρῳ ἀντιλήψει Σου Βασίλειε.

Ἔργοις σκοτεινοῖς, ἠμαυρώθην τὴν διάνοιαν· ἀλλὰ σὺ ὡς ἱεράρχης θεαυγής, τὴν καρδίαν μου καταύγασον Βασίλειε.

*Θεοτοκίον.*

Ἴθυνον ἁγνή, τὴν ζωὴν ἡμῶν δεόμεθα, πρὸς ἐκπλήρωσιν τῶν θείων ἐντολῶν, ὡς ἂν εὕρομεν ζωὴν τὴν ἀτελεύτητον.

*Ὠδὴ στ΄. Τὴν δέησιν.*

Ἐλέους, τὸν χορηγὸν ἐκδυσώπει, ἐλεῆσαι τὰς ψυχὰς ἡμῶν πάτερ, ἵνα ῥυσθῶμεν δεινῶν συντριμμάτων, καὶ τοῦ ἐχθροῦ τὰς παγίδας ἐκφύγωμεν, καὶ λάβομεν παρὰ Θεοῦ, θείαν χάριν Βασίλειε Ὅσιε.

Πρὸς ὅρμον, τῆς ἀληθοῦς σωτηρίας, ἐκ κυμάτων χαλεπῆς ἁμαρτίας, τῇ ἀρωγῇ σου κυβέρνησον Πάτερ, τοὺς τὴν θερμήν σου ζητοῦντας βοήθειαν, ἵνα λιμένα τῆς ζωῆς, τῆς ἀλήκτου Βασίλειε φθάσομεν.

Ἐκ πάσης, ἐπιβουλῆς καὶ μανίας, τὴν παροῦσάν σου διάσωσον ποίμνην, τοῦ ἀοράτου ἐχθροῦ ἱεράρχα, καὶ τῇ σῇ ῥάβδῳ αὐτὴν καθοδήγησον, ἐπὶ νομὰς τῶν ἐντολῶν, καὶ Σωτῆρος παμμάκαρ Βασίλειε.

*Θεοτοκίον.*

Λυχνία, ὤφθης ἑπτάφωτος Κόρη, ἣν ἐτύπου ἡ τοῦ νόμου λυχνία· Σὺ γὰρ ἐν ὕλῃ σαρκὸς ὑπὲρ λόγον, Πατρὸς τὸ θεῖον ἀπαύγασμα τέτοκας, Χριστὸν δι᾿ ἔλεος πολύ, τοῦ Ἀδὰμ τὴν ἀρὰν ἀφανίσαντα.

Διάσωσον, πάσης ἀνάγκης Βασίλειε Ἱεράρχα, τοὺς ἐν πίστει τῇ σῇ πρεσβείᾳ προστρέχοντας, ταῖς πρὸς Θεὸν εὐπροσδέκτοις σου ἱκεσίαις.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ᾿ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

*Κοντάκιον. Ἦχος β΄. Τοῖς τῶν αἱμάτων σου.*

Ἀρχιεράρχα Κυρίου Βασίλειε, Θεσσαλονίκης ποιμὴν ἐνθεώτατε, μὴ παύσῃ πρεσβείαν ποιούμενος, πρὸς τὸν Χριστὸν ὡς ἂν εὕρομεν ἔλεος, καὶ πάσης ῥυσθῶμεν κακώσεως.

Προκείμενον: *Οἱ ἱερεῖς Σου, Κύριε, ἐνδύσονται δικαιοσύνην, καὶ οἱ ὅσιοί Σου ἀγαλλιάσονται.*

Στ.: *Τίμιος ἐναντίον Κυρίου, ὁ θάνατος τοῦ ὁσίου Αὐτοῦ.*

*Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Ἰωάννην. (Κεφ. Ι΄, Ι-9).*

Εἶπεν ὁ Κύριος πρὸς τοὺς ἐληλυθότας πρὸς Αὐτὸν Ἰουδαίους· Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὁ μὴ εἰσερχόμενος διὰ τῆς θύρας εἰς τὴν αὐλὴν τῶν προβάτων, ἀλλὰ

ἀναβαίνων ἀλλαχόθεν, ἐκεῖνος κλέπτης ἐστὶ καὶ λῃστής, ὁ δὲ εἰσερχόμενος διὰ τῆς θύρας, ποιμήν ἐστι τῶν προβάτων. Τούτῳ ὁ θυρωρὸς ἀνοίγει, καὶ τὰ πρόβατα τῆς φωνῆς αὐτοῦ ἀκούει, καὶ τὰ ἴδια πρόβατα καλεῖ κατ᾽ ὄνομα καὶ ἐξάγει αὐτά. Καὶ ὅταν τὰ ἴδια πρόβατα ἐκβάλῃ, ἔμπροσθεν αὐτῶν πορεύεται, καὶ τὰ πρόβατα αὐτῷ ἀκολουθεῖ, ὅτι οἴδασι τὴν φωνὴν αὐτοῦ· ἀλλοτρίῳ δὲ οὐ μὴ ἀκολουθήσωσιν, ἀλλὰ φεύξονται ἀπ᾽ αὐτοῦ, ὅτι οὐκ οἴδασι τῶν ἀλλοτρίων τὴν φωνήν. Ταύτην τὴν παροιμίαν εἶπεν αὐτοῖς ὁ Ἰησοῦς, ἐκεῖνοι δὲ οὐκ ἔγνωσαν τίνα ἦν ἃ ἐλάλει αὐτοῖς. Εἶπεν οὖν πάλιν αὐτοῖς ὁ Ἰησοῦς· Ἀμὴν ἀμὴν λέγω ὑμῖν. Ὅτι ἐγώ εἰμι ἡ θύρα τῶν προβάτων. Πάντες ὅσοι ἦλθον πρὸ ἐμοῦ, κλέπται εἰσὶ καί λησταί, ἀλλ᾽ οὐκ ἤκουσαν αὐτῶν τὰ πρόβατα. Ἐγώ εἰμι ἡ θύρα· δι' ἐμοῦ ἐάν τις εἰσέλθῃ, σωθήσεται, καὶ εἰσελεύσεται καὶ ἐξελεύσεται, καὶ νομὴν εὑρήσει.

Δόξα: *Ταῖς τοῦ Ἱεράρχου...*

Καὶ νῦν: *Ταῖς τῆς Θεοτόκου...*

Προσόμοιον. Ἦχος πλ. β'. Ὅλην ἀποθέμενοι.

Στ.: *Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός...*

Βίον ἐνθεώτατον, πολιτευσάμενος Πάτερ, ὄργανον θεόπνευστον, τοῦ Ἁγίου Πνεύματος ἀναδέδειξαι· σὺ ἡμᾶς κράτυνον, ταῖς σαῖς ἱκεσίαις, τῇ δυνάμει τε καὶ χάριτι, ὡς ἂν Βασίλειε, πάσης προσβολῆς τοῦ ἀλάστορος, στεῤῥῶς περιγενώμεθα, καὶ πολυειδῶν περιστάσεων, καὶ πάσης ἀνάγκης, ἀνώτεροι

ὀφθείημεν σοφέ, οἱ σὲ μεσίτην πρὸς Κύριον, ἔχοντες θερμότατον.

*Ὠδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.*

Ἐκ δεινῶν συμπτωμάτων καὶ ποικίλων παγίδων τοῦ πολεμήτορος, Βασίλειε παμμάκαρ, ἀτρώτους διατήρει, τοὺς ἐν πίστει κραυγάζοντας· Ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Ἱεράρχα Κυρίου μὴ ἐλλίπῃς προσφέρειν πρὸς τὸν φιλάνθρωπον, ὡς ἔχων παῤῥησίαν, θερμὰς ἱκετηρίους, τοῦ σωθῆναι τοὺς ψάλλοντας· Ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Σωτηρίαν ἐξαίτει καὶ παθῶν θεραπείαν ψυχῆς καὶ σώματος, καὶ πᾶσαν εὐπραγίαν, Βασίλειε θεόφρον, τοῖς ἐν πίστει κραυγάζουσιν· Ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

*Θεοτοκίον.*

Γεννηθεὶς ἐκ γαστρός Σου ὁ ὑπέρθεος Λόγος καὶ ὑπερούσιος, μορφῇ ἐν ἀνθρωπίνῃ, προστάτιν Σε δεικνύει, τῶν βοώντων πανάχραντε· χαῖρε βροτῶν προσφυγή, καὶ τῶν Ἀγγέλων δόξα.

*Ὠδὴ η΄. Τὸν Βασιλέα.*

Ἐξ οὐρανίων, Πάτερ προκύψας ἀδύτων, ἡμῶν πρόσδεξαι φωνὰς τὰς ἱκεσίους, καὶ ἡμῖν βοήθει, Βασίλειε ἐν πᾶσι.

Ῥῶσιν παράσχου, κατὰ ψυχήν τε καὶ σῶμα, καὶ ἐκλύτρωσιν παθῶν τῶν ἀκαθάρτων, τοῖς σοὶ προσιοῦσι, Βασίλειε παμμάκαρ.

Ἀγγέλων δήμοις, συνὼν Βασίλειε Πάτερ, καθικέτευε πταισμάτνω λύσιν δοῦναι, τοῖς σὲ κεκτημένοις, πρὸς τὸν Χριστὸν μεσίτην.

*Θεοτοκίον.*

Σκέπε Παρθένε, ἐκ τῶν βελῶν τοῦ Βελίαρ, τοὺς προστρέχοντας τῇ θείᾳ Σου πρεσβείᾳ, καὶ φῶς μετανοίας, δίδου τοῖς Σὲ ὑμνοῦσι.

*ᾨδὴ θ΄. Κυρίως Θεοτόκον.*

Ἰάτρευσον τὸν νοῦν μου, τετραυματισμένον, καὶ τῶν παθῶν μου τὸν τάραχον κόπασον, ταῖς πρὸς Θεόν σου πρεσβείαις, Πάτερ Βασίλειε.

Μὴ παύσῃ ἐποπτεύων, τοὺς θερμῶς αἰτοῦντας, τὴν σὴν ἀντίληψιν Πάτερ Βασίλειε, καὶ τούτοις δίδου ἀπαύστως, τὴν σὴν βοήθειαν.

Ὁ θεῖος Ἱεράρχης, καὶ Θεσσαλονίκης, ὁ εὐκλεὴς ποιμενάρχης Βασίλειε, τὸν σὸν λαὸν ἀεὶ ῥυου ἐκ πάσης θλίψεως.

*Θεοτοκίον.*

Ὑπέραγνε Μαρία, Μῆτερ τοῦ Σωτῆρος, τὴν ἄναγνόν μου καρδίαν ἐκκάθαρον, καὶ σωτηρίας ἀξίωσον τὸν ἱκέτην Σου.

*Μεγαλυνάρια.*

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν Σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ

μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβείμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεόν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον Σέ μεγαλύνομεν.

Χαίροις ὦ Βασίλειε ἱερέ, τῆς ἐπουρανίου, Βασιλείας ὁ κοινωνός, καὶ Θεσσαλονίκης, ὁ φωτοφόρος λύχνος, καὶ πρὸς Χριστὸν μεσίτης, καὶ πρέσβυς ἄριστος.

Ἔλαμψας ἐν κόσμῳ ταῖς ἀρεταῖς, καὶ ἱερωσύνης, ἐνδυσάμενος τὴν στολήν, ὤφθης Ἱεράρχης, σοφὸς τῆς Ἐκκλησίας, καὶ τῆς Θεσσαλονίκης, κλέος Βασίλειε.

Ἔργοις ἐναρέτοις καὶ διδαχαῖς, τὸν λαὸν Κυρίου, ὡς ἐποίμανας ἱερῶς, τοῦτον πρὸς λειμῶνας, τῆς ἄνω Βασιλείας, ὡδήγησας πανσόφως, Πάτερ Βασίλειε.

Ἔνδον τῶν ἀδύτων Πάτερ χορῶν, οἷα Ἱεράρχης, τοῦ Κυρίου θεοειδής, φωτισμοῦ ἐπλήσθης, Βασίλειε ἀΰλου, καὶ πάντας καταυγάζεις, τῇ πολιτείᾳ σου.

Χαίροις θεῖον σκεῦος τῶν ἀρετῶν, καὶ ἀρχιερέων, ὑποτύπωσις καὶ κανών· χαίροις εὐσεβούντων, Βασίλειε προστάτης, καὶ θεῖος ἀντιλήπτωρ, καὶ ἐγκαλλώπισμα.

Πρέσβευε ἀπαύστως πρὸς τὸν Χριστόν, Βασίλειε Πάτερ, λυτρωθῆναι πάσης ὀργῆς, καὶ τῆς Βασίλειας, τυχεῖν τῆς οὐρανίου, τοὺς πίστει προσιόντας, τῇ ἀντιλήψει σου.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες μετά τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν εἰς τό σωθῆναι ἡμᾶς.

*Τό Τρισάγιον καὶ τὰ Τροπάρια ταῦτα. Ἦχος πλ. β΄.*

Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, πάσης γὰρ ἀπολογίας ἀποροῦντες, ταύτην Σοι τὴν ἱκεσίαν, ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοί προσφέρομεν, ἐλέησον ἡμᾶς.

*Δόξα Πατρί...*

Κύριε ἐλέησον ἡμᾶς, ἐπί Σοὶ γὰρ πεποίθαμεν. Μή ὀργισθῇς ἡμῖν σφόδρα, μηδέ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν. Ἀλλ' ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαχνος καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. Σὺ γὰρ εἶ Θεός ἡμῶν καὶ ἡμεῖς λαός Σου, πάντες ἔργα χειρῶν Σου καὶ τὸ ὄνομά Σου ἐπικεκλήμεθα.

*Καί νῦν...*

Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε, ἐλπίζοντες είς Σέ μή ἀστοχήσομεν, ῥυσθείημεν διά Σοῦ τῶν περιστάσεων, Σὺ γὰρ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

*Εἶτα ὁ Ἱερεύς, τὴν Ἐκτενῆ Δέησιν, ἡμῶν ψαλλόντων τό λιτανευτικόν· Κύριε ἐλέησον. Ὑπὸ τοῦ Ἱερέως Ἀπόλυσις. Καὶ τῶν Χριστιανῶν ἀσπαζομένων τὴν Εἰκόνα καὶ χριομένων δι' ἁγίου ἐλαίου, ψάλλονται τὰ παρόντα Τροπάρια: Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου.*

Μύστα, οὐρανίων ἀρετῶν, καὶ ἀρχιερεῦ καὶ θεράπον, Χριστοῦ πανθαύμαστε, Ἅγιε Βασίλειε, Θεσσαλονίκης ποιμήν, τοὺς πιστῶς καταφεύγοντας, τῇ σῇ προστασίᾳ, πάσης ἀπολύτρωσαι, ὀργῆς καὶ θλίψεως, ἄφεσιν πταισμάτων παρέχων, ταῖς σαῖς πρὸς Χριστὸν ἱκεσίαις, πᾶσι καὶ εἰρήνην ἀστασίαστον.

Δέσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων Σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου εἰς Σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην Σου.

*Δι’ εὐχῶν.*

